Ακαδημία Αθηνών / Academy of Athens

# ΕΡΜΗΝΕΙΑ

ΤΗΣ

# ΘΕΙΑΣ ΠΡΟΣΚΟΜΙΔΗΣ

---

Μέλλων ὁ Ἱερεὺς τὴν Θείαν ἐπιτελεῖν Μυσταγωγίαν ὀφείλει προηγουμένως μὲν κατηλλαγμένος εἶναι μετὰ πάντων καὶ μὴ ἔχειν τι κατά τινος καὶ καρδίαν δέ, ὅση δύναμις, ἀπὸ πονηρῶν τηρῆσαι λογισμῶν· ἐγκρατεύεσθαί τε ἀφ' ἑσπέρας καὶ ἐγρηγορέναι μέχρι τοῦ τῆς Ἱερουργίας καιροῦ. Τοῦ δὲ καιροῦ ἐπιστάντος, μετὰ τὸ ποιῆσαι τὴν συνήθη τῷ προεστῶτι μετάνοιαν, εἰσέρχεται ἐν τῷ Ναῷ· καὶ ἑνωθεὶς τῷ Διακόνῳ, ποιοῦσιν ὁμοῦ κατὰ Ἀνατολὰς ἔμπροσθεν τῶν ἁγίων Θυρῶν προσκυνήματα τρία, λέγοντες τό,

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Εἶτα λέγει ὁ Διάκονος.

Εὐλόγησον, Δέσποτα.

**Ὁ Ἱερεύς.**

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι, Ἅγιε, δόξα Σοι.

Βασιλεῦ Οὐράνιε, Παράκλητε τὸ Πνεῦμα τῆς ἀληθείας κτλ.

Ὁ Διάκονος τὸ Τρισάγιον.

**Ὁ Ἱερεύς.**

Ὅτι Σοῦ ἐστιν ἡ Βασιλεία.

Εἶτα λέγει τό.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες ταύτην Σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

**Ὁ Διάκονος.**

Δόξα Πατρί.

Κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ Σοὶ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός Σου· πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

**Ὁ Ἱερεύς.**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Καὶ νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς Σέ, μὴ ἀστοχήσωμεν, ρυσθείημεν διὰ Σοῦ τῶν περιστάσεων· Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ὁ Διάκονος τό,

Κύριε ἐλέησον ιβ΄.

Μὲ σταυροὺς ἀμφότεροι.

Εἶτα ἀπέρχονται ἀσκεπεῖς, προπορευομένου τοῦ ἱερέως, ἀσπάζονται τὰς ἁγίας εἰκόνας. Καὶ εἰς μὲν τοῦ Ἰησοῦ Χριστοῦ λέγουν·

Τὴν ἄχραντον Εἰκόνα Σου προσκυνοῦμεν, Ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ρύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμέν Σοι· χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

Εἰς δὲ τῆς Θεοτόκου, λέγει·

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς, Θεοτόκε, βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν Σου· εἰς Σὲ γὰρ ἐλπίζοντες, Χαῖρε βοῶμέν Σοι, ὥς ποτε ὁ Γαβριήλ, ὁ τῶν ἀσωμάτων Ἀρχιστράτηγος.

Εἰς δὲ τοῦ Προδρόμου λέγει τὸ ἑξῆς·

Μνήμη δικαίου μετ' ἐγκωμίων, Σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ρείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον· ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ Θεόν, φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Ἀσπάζονται δὲ ἁπάσας τὰς λοιπὰς εἰκόνας τὰς εὑρισκομένας εἰς τὸ Τέμπλον, λέγοντες τὸ Ἀπολυτίκιον ἢ Κοντάκιον ἑκάστης.

Εἶτα μετὰ τὸν ἀσπασμὸν ἐπανέρχονται καὶ ἵστανται εἰς τὴν προτέραν αὐτῶν θέσιν, (ὁ διάκονος ἵσταται δεξιὰ τοῦ ἱερέως), καὶ λέγει ἀσκεπής.

Τοῦ Κυρίου δεηθῶμεν, Κύριε ἐλέησον.

Καὶ τὰς κεφαλὰς κλινόντων, ὁ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην

Κύριε, ἐξαπόστειλον τὴν χεῖρά Σου ἐξ ὕψους κατοικητηρίου Σου καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν Σου, ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ Σου βήματι τὴν ἀναίμακτον Ἱε-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ρουργίαν ἐπιτελέσω. Ὅτι Σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος. Δόξα. Καὶ νῦν. Κύριε ἐλέησον τρίς· εὐλόγησον.

Ὁ Ἱερεὺς ποιεῖ μικρὰν ἀπόλυσιν οὕτως· Εἰ μὲν ἐστι Κυριακή,

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινός, κτλ.

Εἰδὲ μή,

Χριστὸς ὁ ἀληθινὸς Θεός, κτλ.

Εἰ δὲ ἐστι Λειτουργία τοῦ Μεγάλου Βασιλείου, λέγει εἰς τὸ τέλος.

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου Ἀρχιεπισκόπου Καισαρείας, Καππαδοκίας, Οὐρανοφάντορος τοῦ μεγάλου.

Εἰ δὲ τοῦ Χρυσοστόμου.

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

Καὶ οὕτω προσκυνοῦντες τρίς, ποιήσαντες σχῆμα εἰς τὸν λαόν, εἰσέρχονται εἰς τὸ Θυσιαστήριον, ὁ μὲν ἱερεὺς διὰ τῆς βορείου θύρας ὁ δὲ διάκονος διὰ τῆς νοτίου, λέγοντες ἑκάτεροι καὶ προσκυνοῦντες ἀσκεπεῖς τὸ

Εἰσελεύσομαι εἰς τὸν ἅγιον οἶκόν Σου, προσκυνήσω μίαν Θεότητα προσκυνουμένην τρισυποστάτως, ἐν Πατρί τε καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Καὶ οὕτως ἀσπάζονται τὸ ἅγιον Εὐαγγέλιον καὶ τὴν ἁγίαν Τράπεζαν.

Εἶτα λαμβάνει ἕκαστος τὰ ἱερὰ αὐτοῦ ἄμφια.

Καὶ ὁ μὲν Διάκονος προσέρχεται τῷ ἱερεῖ (κρατῶν εἰς χεῖράς του τὸ στοιχάριον, τὰ ἐπιμάνικα καὶ τὸ ὡράριον) καὶ λέγει·

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Εὐλόγησον, Δέσποτα, τὸ στοιχάριον σὺν τῷ ὠραρίῳ.

Καὶ ἀσπάζεται τὴν δεξιὰν τοῦ ἱερέως 1).

Εἶτα ὑποχωρεῖ εἰς τὸ διακονικόν.

Ὁ δὲ Ἱερεὺς λαβὼν καὶ οὗτος τὸ στοιχάριόν του λέγει.

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Καὶ προσκυνεῖ τρίς.

Εἶτα εὐλογεῖ ἀσπαζόμενος αὐτὸ καὶ λέγων.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν κτλ. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Καὶ ἐνδυόμενος λέγει.

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με, ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμον. Πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὡσαύτως καὶ ὁ διάκονος ἐνδύεται καὶ εὔχεται χωρὶς νὰ εὐλογῇ. Λαβὼν τὸ ὠράριον καὶ ἀσπασάμενος ἐπιτίθησιν αὐτὸ τῷ ἀριστερῷ ὤμῳ. Λαβὼν δὲ καὶ τὰ ἐπιμάνικα, εἰς μὲν τὸ δεξιὸν μετὰ τὸ ἀσπασθῆναι αὐτὸ λέγει.

Τοῦ Κυρίου δεηθῶμεν, Κύριε ἐλέησον.

Ἡ δεξιά Σου χείρ, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά Σου, Κύριε, ἔθραυσεν ἐχθρούς, καὶ τῷ πλήθει τῆς δόξης Σου συνέτριψας τοὺς ὑπεναντίους.

Εἰς δὲ τὸ ἀριστερὸν ποιήσας ὡσαύτως λέγει

1) Ὁ διάκονος οὕτω πρέπει νὰ ποιῇ ὁσάκις πρόκειται νὰ ἱεροφορέσῃ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Αἱ χεῖρές Σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς Σου.

Εἶτα ἀπελθὼν εἰς τὸν Νιπτῆρα λέγει.

Τοῦ Κυρίου δεηθῶμεν, Κύριε ἐλέησον.

Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ Θυσιαστήριόν Σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς Σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά Σου, Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου Σου· μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων· ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσόν με, Κύριε, καὶ ἐλέησόν με· ὁ πούς μου ἔστη ἐν εὐθύτητι· Ἐκκλησίαις εὐλογήσω Σε, Κύριε.

Εἶτα ἐρχόμενος εἰς τὴν ἱερὰν προσκομιδήν, ποιεῖ προσκυνήματα τρία λέγων.

Ὁ Θεὸς ἱλάσθητι μοι τῷ ἁμαρτωλῷ.

Ἑτοιμάζου Βηθλεέμ, ἤνοικται πᾶσιν ἡ Ἐδέμ, εὐτρεπίζου Εὐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου. Παράδεισος καὶ γάρ, ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τὸ θεῖον φυτόν, ἐξ οὗ φαγόντες ζήσομεν· οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα Χριστὸς γεννᾶται τὴν πρὶν πεσοῦσαν ἀναστήσων εἰκόνα.

Εἶτα στρώνει τὸ κάλυμμα ἐπιδεξίως, βάλλει τὸ ἅγιον δισκάριον ἐπάνω, ὡσαύτως καὶ τὴν ἁγίαν Λόγχην, ἐργάζει τὸν ἅγιον σπόγγον μὲ προσοχὴν ἀπὸ τὸ ἅγιον ποτήριον, ἐπιθέτει αὐτὸν ἄντικρυ τοῦ δισκαρίου μὲ τὴν ἁγίαν λαβίδα· παρατηρεῖ τὸ ἅγιον ποτήριον μὴ ὑπάρχῃ τι ἔσωθεν, εἶτα ἐναποθέτει αὐτὸ εἰς τὰ δεξιὰ τοῦ δισκαρίου. Τὰ δὲ καλύμματα μετὰ τοῦ ἀέρος καὶ τοῦ ἀστερίσκου ἐπίθετει εἰς τὰ ἀριστερὰ καὶ οὕτω περιμένει τὸν Ἱερέα.

Ὁ δὲ Ἱερεύς, ἀφ' οὗ φορέσῃ τὸ στοιχάριον, λαμβάνει, τὸ ἐπιτραχήλιον, σφραγίζει, ἀσπάζεται αὐτὰ ὡς καὶ τὸ στοιχάριον, καὶ λέγει.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Εὐλογητὸς ὁ Θεός ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ, ὡς μῦρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ὤραν τοῦ ἐνδύματος αὐτοῦ

Εἶτα λαβὼν τὸ περιζώνιον λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, κτλ

Καὶ σφραγίζων αὐτὸ λέγει·

Τοῦ Κυρίου δεηθῶμεν, Κύριε ἐλέησον.

Καὶ τό,

Ὁ περιζωννύων με δύναμιν καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου. Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με. Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαβὼν τὰ ἐπιμάνικα ποιεῖ ὡς εἴπομεν ἄνωθεν. Ἐὰν ὁ ἀρχιμανδρίτης φορεῖ τὸ ἐπιγονάτιον καὶ λέγει,

Περίζωσαι τὴν ρομφαίαν Σου ἐπὶ τὸν μηρόν Σου, δυνατέ, τῇ ὡραιότητί Σου καὶ τῷ κάλλει Σου καὶ ἔντεινε καὶ κατευόδου καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πρᾳότητος καὶ δικαιοσύνης· καὶ ὁδηγήσει Σε θαυμαστῶς ἡ δεξιά Σου.

Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαβὼν τὸ φελώνιον καὶ εὐλογήσας ἀσπάζεται αὐτὸ λέγων·

Οἱ ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσει ἀγαλλιάσονται. Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ακαδημία Αθηνών Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Εὐθὺς δὲ ἀπέρχεται εἰς τὸν νιπτῆρα καὶ ποιεῖ ὡς ἄνωθεν εἴρηται ἐν τῇ ἑρμηνείᾳ τοῦ διακόνου 1).

Ἐλθὼν ὁ ἱερεὺς εἰς τὴν Πρόθεσιν προσκυνεῖ τρὶς λέγων.

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Καὶ λαβὼν τὴν Προσφορὰν καὶ τὴν ἁγίαν Λόγχην ταῖς δυσὶ χερσὶ ὑψώνει αὐτὴν μέχρι τοῦ μετώπου του, καὶ λέγει.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ Σου αἵματι, τῷ Σταυρῷ προσηλωθεὶς καὶ τῇ Λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν δόξα Σου.

Εἶτα λέγει ὁ Διάκονος.

Εὐλόγησον, Δέσποτα.

Ὁ δὲ ἱερεὺς ποιεῖ εὐλογητόν, καὶ κρατῶν τήν τε προσφορὰν καὶ τὴν λόγχην ποιεῖ τὸ σημεῖον τοῦ σταυροῦ ἐπάνω τοῦ δισκαρίου λέγων·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Εἶτα κρατῶν ὁ ἱερεὺς τὴν μὲν προσφορὰν μὲ τὴν ἀριστερὰν χεῖρα, τὴν δὲ λόγχην μὲ τὴν δεξιάν, τοῦ διακόνου λέγοντος,

Τοῦ Κυρίου δεηθῶμεν, Κύριε ἐλέησον.

Ποιεῖ σταυρὸν διὰ τῆς Λόγχης ἄνω τῆς προσφορᾶς λέγων.

Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ δὲ διάκονος λέγει·

Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τοῦτο ποιεῖ ἐκ τρίτου ὁ ἱερεύς.

Εἶτα λέγει ὁ διάκονος.

---

1) Ἐὰν ὁ ἱερεὺς ἦναι λειτουργῶν μόνος, ἄνευ διακόνου, βεβαίως θὰ ποιήσῃ ὅσα ἄνω εἴπομεν ἀντὶ τοῦ διακόνου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ ἱερεὺς πήγνυσι τὴν λόγχην ἐν τῷ δεξιῷ 1) μέρει τῆς προσφορᾶς καὶ ἀνατέμνων λέγει.

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.

Ἐν δὲ τῷ ἀριστερῷ λέγει.

Καὶ ὡς ἀμνὸς ἄμωμος ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

Ἐν δὲ τῷ ἄνω μέρει τῆς σφραγῖδος λέγει.

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

Ἐν δὲ τῷ κάτω μέρει λέγει.

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

Ὁ δὲ διάκονος ἐνορῶν εὐλαβῶς τῇ τοιαύτῃ τελετῇ λέγει εἰς ἑκάστην ἀνατομήν.

Τοῦ Κυρίου δεηθῶμεν, Κύριε ἐλέησον.

Κρατῶν συγχρόνως καὶ τὸ ὠράριον ἐν τῇ δεξιᾷ χερί.
Μετὰ ταῦτα λέγει.

Ἔπαρον, Δέσποτα.

Ὁ ἱερεὺς δὲ τότε ἐμβαλὼν τὴν ἁγίαν λόγχην ἐκ πλαγίου τοῦ ἀριστεροῦ μέρους τῆς προσφορᾶς, ἐπαίρει τὸν ἅγιον ἄρτον καὶ ἐναποθέτει αὐτὸν εἰς τὸ ἅγιον δισκάριον λέγων.

Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

Καὶ θεὶς αὐτὸν ὕπτιον (ἤτοι τὸ ἀνάπαλιν), ἐν τῷ ἁγίῳ δίσκῳ, εἰπόντος τοῦ διακόνου,

Θῦσον, Δέσποτα.

Θύει αὐτὸν μὲ τὴν λόγχην σταυροειδῶς λέγων,

---

1) Δεξιὸν μέρος τῆς προσφορᾶς λέγεται τὸ μέρος, ὅπου τίθεται ἡ μερὶς τῆς Θεοτόκου ἀριστερὸν δὲ ὅπου τίθενται τὰ 9 τάγματα (ὅρα εἰς τὴν εἰκόνα τῆς προσκομιδῆς ἐν σελίδι 36).

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τοῦ κόσμου τῆς ζωῆς καὶ σωτηρίας.

Πάλιν λέγει ὁ διάκονος.

Σταύρωσον, Δέσποτα.

Ὁ ἱερεὺς πάλιν διὰ τῆς λόγχης θύων λέγει·

Σταυρωθέντος Σοῦ, Χριστέ, ἀνῃρέθη ἡ τυραννίς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ Ἄγγελος, οὔτε ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς, δόξα Σοι.

Καὶ εὐθὺς ἀνχγυρίζει τὸν Ἀμνὸν ἐκ τῆς ὄψεως, (ἤτοι ἐκ τῆς σφραγῖδος), λέγοντος τοῦ διακόνου.

Νῦξον, Δέσποτα.

Ὁ ἱερεὺς δὲ νύττων διὰ τῆς λόγχης ἐκ τοῦ δεξιοῦ μέρους τοῦ ἀμνοῦ, κεντᾷ ἐπάνω εἰς τὸ Ν. λέγων.

Εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε καὶ εὐθέως ἐξῆλθεν ἐκ τῆς ἁγίας αὐτοῦ πλευρᾶς αἷμα καὶ ὕδωρ καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ.

Ὁ δὲ διάκονος λαβὼν τὰ δύο ἀγγεῖα τοῦ νάματος καὶ ὕδατος καὶ κρατῶν εἰς μὲν τὴν δεξιάν του τὸν οἶνον, εἰς δὲ τὴν ἀριστεράν του τὸ ὕδωρ, ἐκχέει ἐν τῷ ἁγίῳ ποτηρίῳ ὅσον πρέπει, λέγων συνάμα τῷ ἱερεῖ·

Εὐλόγησον, Δέσποτα, τὴν ἁγίαν ἕνωσιν.

Καὶ ὁ ἱερεὺς εὐλογῶν ἐπάνω τοῦ ἁγίου ποτηρίου λέγει.

Εὐλογημένη ἡ ἕνωσις τῶν ἁγίων Σου.

Ὁ δὲ διάκονος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν 1).**

Εἶτα θέτει ὁ ἱερεὺς ἐπάνω τοῦ ἁγίου ποτηρίου τὰ δύο καλύμματα καὶ τὸν ἀστερίσκον. Καὶ ὁ μὲν διάκονος ἀπέρχεται καὶ εὐτρεπίζει τὴν ἁγίαν τράπεζαν καὶ ἀναθεωρεῖ τὸ Εὐαγγέλιον, τὸ ὁποῖον μέλλει νὰ ἀναγνώσῃ.

Ὁ δὲ ἱερεὺς λαβὼν τὴν δευτέραν προσφορὰν 2), καὶ ἐγχαράττων αὐτὴν διὰ τῆς λόγχης ἐβγάζει τὴν μερίδα τῆς Θεοτόκου οὕτω λέγων.




Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν Σου θυσιατήριον.

Καὶ αἴρων τὴν μερίδα τῆς Θεοτόκου διὰ τῆς λόγχης τίθησιν αὐτὴν ἐν τῷ δεξιῷ μέρει τοῦ ἁγίου ἄρτου, πλησίον τῆς μέσης αὐτοῦ, λέγων·

Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν Σου, ἐν ἱματισμῷ διαχρύσῳ, περιβεβλημένη, πεποικιλμένη.

Εἶτα ἐκ τῆς ἰδίας προσφορᾶς ἄρχεται νὰ ἐβγάζῃ τὰ ἐννέα τάγματα εἰς μερίδας ἀνὰ τρεῖς στάσεις, οὕτω.




---

1) Μὴ ὑπάρχοντος διακόνου, ἐκτελεῖ ταῦτα πάντα ὁ ἱερεύς.

2) Λέγομεν δευτέραν προσφοράν, διότι ἐκ τῆς α΄ ἐβγάζομεν τὸν ἅγιον ἄρτον, καὶ ἐξ αὐτῆς θὰ διανεμηθῇ τὸ ἀντίδωρον. Διὰ ποίαν δὲ αἰτίαν πρέπει νὰ προσκομίζωμεν μὲ δύο προσφοράς, ὅρα Συμ. Θεσσαλονίκης, ἐν τῷ Πηδαλίῳ τὸν η΄. Κανόνα Φιλοθέου Πατριάρχου Ἀλεξανδρείας, ἐν τῇ δ΄ ὑποσημειώσει αὐτοῦ. (Ἂν ὅμως ἐξ ἀνάγκης μὴ ὑπάρχῃ δευτέρα προσφορὰ ὁ ἱερεὺς ἂς ἱερουργήσῃ καὶ μὲ μίαν).

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Καὶ αἴρων τὴν α' μερίδα λέγει.

Εἰς τιμὴν καὶ μνήμην τῶν παμμεγίστων Ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ καὶ πασῶν τῶν Ἐπουρανίων Δυνάμεων.

Καὶ οὕτω τίθησιν αὐτὴ ἐν τῷ ἀριστερῷ μέρει τοῦ ἁγίου ἄρτου, πλησίον τῆς μέσης.
Εἶτα αἴρει τὴν β' μερίδα λέγων.

Τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

Τῶν ἁγίων ἐνδόξων Προφητῶν, Μωϋσέως καὶ Ἀαρών, Ἠλιοῦ, Ἐλισσαίου, Δαβὶδ καὶ Ἰεσσαί· τῶν ἁγίων τριῶν παίδων καὶ Δανιὴλ τοῦ Προφήτου καὶ πάντων τῶν ἁγίων Προφητῶν.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς α' μερίδος εὐτάκτως.
Αἴρων δὲ τὴν γ' μερίδα λέγει.

Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων Πέτρου καὶ Παύλου, τῶν 12 καὶ 70 καὶ πάντων τῶν ἁγίων Ἀποστόλων.

Καὶ οὕτω τίθησι τὴν γ' μερίδα ὑποκάτω τῆς β' καὶ τελειώνει τὴν πρώτην τάξιν.
Εἶτα αἴρει τὴν δ' μερίδα λέγων·

Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν καὶ οἰκουμενικῶν μεγάλων Διδασκάλων καὶ Ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις καὶ πάντων τῶν ἁγίων Ἱεραρχῶν 1).

Καὶ τίθησιν αὐτὴν πλησίον τῆς πρώτης μερίδος, ποιῶν δευτέραν ἀρχὴν καὶ στάσιν.
Εἶτα αἴρει τὴν ε' μερίδα λέγων·

1) Ἐνταῦθα δύναται ἕκαστος ἱερεὺς νὰ συμπεριλάβῃ οὓς βούλεται ἁγίους, ἱεράρχας, μάρτυρας, ὁσίους, ἀναργύρους, προφήτας, ἀποστόλους, κτλ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, τῶν ἁγίων ἐνδόξων μεγάλων Μαρτύρων, Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρων Τύρωνος καὶ Στρατηλάτου καὶ πάντων καὶ πασῶν τῶν ἁγίων Μαρτύρων.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς α' μερίδος, τῆς οὔσης ἀρχῆς τῆς δευτέρας τάξεως.

Εἶτα αἴρων τὴν στ' μερίδα λέγει.

Τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν Ἀντωνίου τοῦ Μεγάλου, Εὐθυμίου, Παϊσίου, Σάββα, Ὀνουφρίου, Πέτρου καὶ Ἀθανασίου τοῦ ἐν Ἄθῳ, Διονυσίου τοῦ ἐν τῷ Ὀλύμπῳ καὶ πάντων τῶν ἀπ' αἰῶνος ἐν ἀσκήσει λαμψάντων.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς δευτέρας μερίδος, καὶ τελειώνει ἡ δευτέρα τάξις.

Εἶτα αἴρων τὴν ζ' μερίδα λέγει.

Τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Θαλαλαίου, Τρύφωνος καὶ Χριστοφόρου καὶ πάντων καὶ πασῶν τῶν ἁγίων Ἀναργύρων.

Καὶ τίθησιν αὐτὴν ἄνω, πλησίον τῆς δευτέρας μερίδος, ποιῶν τρίτην ἀρχὴν καὶ τάξιν.

Εἶτα αἴρων τὴν η' μερίδα λέγει.

Τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, Ἰωσὴφ τοῦ Μνήστορος καὶ Συμεὼν τοῦ Θεοδόχου. Καὶ τοῦ ἁγίου τῆς ἡμέρας *(δεῖνος)*, οὗ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων Σου τῶν ἁγίων 1).

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς ἑβδόμης μερίδος τῆς δευτέρας τάξεως.

Εἶτα αἴρει τὴν θ' μερίδα.

---

1) Εἰ μὲν ἑορτάζει ἁγία λέγομεν „ἧς καὶ τὴν μνήμην ἐπιτελοῦμεν", εἰ δὲ πολλοὶ ἅγιοι „ὧν καὶ τὴν μνήμην ἐπιτελοῦμεν".



Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου 1), οὗ καὶ τὴν θείαν Μυσταγωγίαν ἐπιτελοῦμεν, ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς ὀγδόης μερίδος, καὶ οὕτως ἀναπληρώνονται αἱ τρεῖς τάξεις τῶν 9 ταγμάτων.

Εἶτα λαβὼν τὸ μαχαιρίδιον, (τὸ ὁποῖον εὑρίσκεται πάντοτε εἰς τὴν Πρόθεσιν διὰ νὰ κόπτωσι τὸ ἀντίδωρον), κόπτει δύο τμήματα ἐκ τῆς ἰδίας προσφορᾶς, ἅτινα ἔχουν τὸν τύπον τοῦτον.

| | |
|---|---|
| ΙΣ | ΧΣ |
| ΝΙ | ΚΑ |

Καὶ παίρνει ἀπὸ μὲν τοῦ ἑνὸς μέρους μερίδας τῶν ζώντων, ἀπὸ δὲ τοῦ ἑτέρου μερίδας τῶν κεκοιμημένων. Καὶ κρατῶν τὸ ἓν τμῆμα μὲ τὴν ἀριστερὰν του χεῖρα τοῖς τρισὶ δακτύλοις καὶ μὲ τὴν δεξιάν του τὴν ἁγίαν λόγχην, λέγει.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Μνήσθητι, Δέσποτα, φιλάνθρωπε πάσης ἐπισκοπῆς ὀρθοδόξων καὶ τοῦ ἀρχιεπισκόπου *(ἢ ἐπισκόπου)* ἡμῶν *(δεῖνος)*, τοῦ τιμίου πρεσβυτερίου τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος 2).

Μνήσθητι, Κύριε, τοῦ πατρὸς ἡμῶν Καθηγουμένου *(δεῖνος)* καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν τῆς ἁγίας Μονῆς ταύτης καὶ τῶν συλλειτουργῶν ἡμῶν ἱερομονάχων, ἱεροδιακόνων, μοναχῶν, μοναζουσῶν,

1) Εἰ μὲν τελεῖται ἡ λειτουργία τοῦ θείου Χρυσοστόμου, μνημονεύομεν τὸν θεῖον Χρυσόστομον· εἰ δὲ ἡ τοῦ Μ. Βασιλείου, μνημονεύομεν τὸν Μ. Βασίλειον.

2) Ἐνταῦθα παίρνει ἀνὰ μίαν μερίδα καὶ θέτει ὑπὸ κάτω τοῦ ἁγίου ἄρτου, ὅπου θὰ τεθοῦν ὅλαι αἱ μερίδες, τὰς ὁποίας μέλλει νὰ εὐγάλῃ δι' ὅλα τὰ ὀνόματα ζώντων τε καὶ τεθνεώτων.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

οὓς προσκαλέσω εἰς τὴν Σὴν κοινωνίαν διὰ τῆς εὐσπλαγχνίας, Πανάγαθε Δέσποτα.

Εἶτα μνημονεύει τὸ ὄνομα, οὗ ἕνεκεν γίνεται ἡ Θεία Λειτουργία, καὶ αἴρει μερίδας χωριστάς· ὡσαύτως μνημονεύει οὓς βούλεται, καὶ οὕτως ἀφίνει τὸ τμῆμα τοῦτο.

Εἶτα λαμβάνει τὸ ἕτερον τμῆμα καὶ λέγει,

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμνης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν μακαρίων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης (ἢ τῆς **Ἐκκλησίας**).

Καὶ οὕτω μνημονεύει τὸν χειροτονήσαντα αὐτὸν Ἀρχιερέα καὶ οὓς βούλεται· εἰς δὲ τὸ τέλος καταβιβάζων μερίδας μνημονεύει οὕτω·

Μνήσθητι, Κύριε, Βασιλέων, Πατριαρχῶν, Ἀρχιερέων, Ἱερέων, Ἱερομονάχων, Ἱεροδιακόνων, Μοναχῶν, Μοναζουσῶν· καὶ πάντων τῶν ἐπ' ἐλπίδι Ἀναστάσεως ζωῆς αἰωνίου τῶν τῇ Σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων Πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε.

Καὶ τελευταῖον λέγει οὕτω·

Μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀναξιότητος καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Εἶτα ἀφίνει καὶ αὐτὸ τὸ τμῆμα. Συνάζει καλῶς τὰς μερίδας τῶν ψυχῶν μὲ τὴν Λόγχην ὑποκάτω τοῦ ἁγίου ἄρτου· ἀφίνει καὶ τὴν Λόγχην εἰς τὴν θέσιν της· σφογγίζει τὰ χείλη τοῦ ἁγίου δισκαρίου με τὸ στρωθὲν κάλυμμα ἀσφαλῶς. Καὶ τὸ μὲν δισκάριον ἀφίνει εἰς τὴν ἰδίαν θέσιν, τὸ δὲ κάλυμμα διπλώνει 1) καὶ τὸ φέρει εἰς τὴν ἁγίαν Τράπεζαν.

Εἶτα ὁ διάκονος ἑτοιμάσας τὸ θυμιατὸν προσφέρει αὐτὸ καὶ λέγει τῷ ἱερεῖ.

---

1) Τὸ κάλυμμα τοῦτο πρέπει νὰ διπλώνηται εἰς τοιοῦτον τρόπον, ὥστε τὸ μέρος, ὅπου σφογγιζόμεθα νὰ τυλίσσηται ἔσωθεν.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. Τοῦ Κυρίου δεηθῶμεν, Κύριε, ἐλέησον.

Καὶ εὐλογῶν ὁ ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ θυμιάματος.

Θυμίαμά Σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν Σου Θυσιαστήριον ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου Σου Πνεύματος 1).

Εἶτα ὁ μὲν ἱερεὺς λαβὼν τὸν ἀστερίσκον πλησιάζει τὸ θυμιατόν, ὁ δὲ διάκονος κρατῶν τὸ θυμιατὸν καὶ θυμιάζων λέγει·

Του Κυρίου δεηθῶμεν.

Καὶ αὐτὸ ποιεῖ καὶ εἰς τὰ καλύμματα καὶ εἰς τὸν ἀέρα, ὁ δὲ ἱερεὺς ἀποθέτει τὸν ἀστερίσκον ἐπάνω τοῦ ἁγίου ἄρτου καὶ μετὰ τὸ ἀσπασθῆναι αὐτὸν λέγει·

Καὶ ἐλθὼν ὁ Ἀστὴρ ἔστη ἐπάνω, οὗ ἦν τὸ Παιδίον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Εἶτα ὁ ἱερεὺς λαβὼν τὸ πρῶτον κάλυμμα, καὶ θυμιάζοντος τοῦ διακόνου λέγοντος,

Τοῦ Κυρίου δεηθῶμεν.

Εἶτα σκεπάζει τὸ ἅγιον δισκάριον λέγων.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο· καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Καὶ οὕτως ἀσπασάμενος αὐτὸ ἀποθέτει εὐλαβῶς.
Εἶτα ὁ ἱερεὺς λαμβάνει τὸ δεύτερον κάλυμμα ὁ δὲ διάκονος ποιεῖ ὡς ἄνω ἐρρέθη καὶ λέγει τῷ ἱερεῖ·

Τοῦ Κυρίου δεηθῶμεν.

---

1) Μόνον ἐνταῦθα λέγεται ἡ εὐχὴ αὕτη, εἰς δὲ τὰς ἄλλας εὐλογίας τοῦ θυμιάματος λέγεται τὸ «Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν»·

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Κάλυψον, Δέσποτα.

Καὶ ὁ ἱερεὺς καλύπτει τὸ ἅγιον ποτήριον λέγων·

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή Σου, Χριστέ, καὶ τῆς αἰνέσεώς Σου πλήρης ἡ γῆ.

Εἶτα τοῦ ἱερέως λαβόντος τὸν ἀέρα, ὁ διάκονος θυμιάζων αὐτὸν λέγει·

Τοῦ Κυρίου δεηθῶμεν.

Σκέπασον, Δέσποτα.

Ὁ δὲ ἱερεὺς σκεπάζων ἀμφότερα, τό τε δισκάριον καὶ τὸ ἅγιον ποτήριον λέγει·

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων Σου· ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν· Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον Σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα λαβὼν ὁ ἱερεὺς τὸ θυμιατὸν θυμιᾷ τὴν πρόθεσιν ἐκ τρίτου λέγων τὸ

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν ὁ οὕτως εὐδοκήσας δόξα Σοι.

Ὁ δὲ διάκονος ἐν ἑκάστῃ λέγει·

Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαβὼν ὁ διάκονος τὸ θυμιατὸν ἐκ τῆς χειρὸς τοῦ ἱερέως καὶ ἀσπασθεὶς αὐτὴν ἐπιδίδει τὴν Φυλλάδα καὶ λέγει τῷ ἱερεῖ·

Ἐπὶ τῇ ἁγίᾳ καὶ ἱερᾷ προθέσει τῶν τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν, Κύριε, ἐλέησον.

Λαβὼν δὲ ὁ ἱερεὺς τὴν Φυλλάδα ἀναγινώσκει τὴν εὐχὴν τῆς προθέσεως οὕτως ἔχουσαν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

## Εὐχὴ τῆς Προθέσεως.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν, ἐξαποστείλας Σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς αὐτὸς εὐλόγησον τὴν Πρόθεσιν ταύτην καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιον Σου Θυσιαστήριον. Μνημόνευσον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος τῶν προσενεγκόντων καὶ δι' οὓς προσήγαγον καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων Σου Μυστηρίων. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά Σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Εἶτα μετὰ τὴν εὐχὴν ποιεῖ ἀπόλυσιν μικρὰν λέγων·

Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα Σοι.

Ὁ δὲ διάκονος·

Δόξα καὶ νῦν. Κύριε ἐλέησον γ'.

Δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ δὲ ἱερεὺς ποιεῖ ἀπόλυσιν τῆς προσκομιδῆς οὕτως·

Ὁ ἐν σπηλαίῳ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακλιθεὶς διὰ τὴν ἡμῶν σωτηρίαν· *(εἰ ἔστι Κυριακή, λέγει)* καὶ ἀναστὰς ἐκ νεκρῶν, *(εἰ δὲ μή)*, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείας τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός. Τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. Τοῦ ἁγίου τῆς ἡμέρας *(δεῖνος)*. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κων-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

σταντινουπόλεως τοῦ Χρυσοστόμου *(ἢ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου Καισαρείας Καπαδοκίας τοῦ Μεγάλου) (εἰ τελεῖται ἡ λειτουργία αὐτοῦ)*· καὶ πάντων τῶν ἁγίων ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Τελειωθείσης τῆς ἀπολύσεως προσκυνοῦσιν ἀμφότεροι καὶ ὁ μὲν ἱερεὺς ἀσπάζεται τὰ ἅγια σταυροειδῶς·

Ὁ δὲ διάκονος μετὰ τὸ εἰπεῖν Ἀμήν, ἀσπάζεται καὶ αὐτὸς τὸ κάτωθεν μέροςτοῦ ἀέρος, θυμιᾷ τὴν ἱερὰν πρόθεσιν τρίς· ὡσαύτως καὶ τὴν ἁγίαν τράπεζαν κύκλωθεν σταυροειδῶς καὶ λέγων καθ' ἑαυτὸν τὰ τροπάρια ταῦτα 1).

Ἐν τῷ τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεός, ἐν Παραδείσῳ δὲ μετὰ Λῃστοῦ καὶ ἐν Θρόνῳ ὑπῆρχες, Χριστέ, μετὰ Πατρὸς καὶ Πνεύματος πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Δόξα Πατρὶ κτλ.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καὶ παστάδος πάσης βασιλικῆς, ἀναδέδεικται λαμπρότερος, Χριστέ, ὁ τάφος Σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Καὶ νῦν. Θεοτόκιον.

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε: διὰ Σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε, τοῖς κραυγάζουσιν· Εὐλογημένη Σὺ ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε Δέσποινα.

Εἶτα ἐξέρχεται ἐκ τῶν ἁγίων Βημοθύρων· ἵσταται ἔμπροσθεν τῆς Ὡραίας Πύλης· θυμιᾷ τὰς Δεσποτικὰς εἰκόνας, τὸν θρόνον τοῦ Δεσπότου, τοὺς χοροὺς δεξιὰ καὶ ἀριστερά, λέγων τὸν Ν΄. ψαλμὸν μυστικῶς.

---

1) Ἐὰν ὁ ἱερεὺς λειτουργῇ ἄνευ διακόνου, μετὰ τὴν μικρὰν ἀπόλυσιν τῆς προσκομιδῆς, λέγει ὅσα ὁ διάκονος ἔπρεπε νὰ εἴπῃ, χωρὶς νὰ ἐξέλθῃ τῶν ἁγίων Βημοθύρων, καὶ ἑστὼς εἰς τὴν Ὡραίαν Πύλην, θυμιᾷ ὡς ἔθος εἴπομεν ἀνωτέρω.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Εἶτα εἰσέρχεται ἔσω, ὅθεν ἐξῆλθε. Θυμιᾷ πάλιν τὴν ἁγίαν τράπεζαν καὶ τὴν πρόθεσιν, καὶ τὸ ἱερατεῖον· ἀποθέτει τὸ θυμιατὸν εἰς τὴν θέσιν του, καὶ προσεγγίσας τῷ ἱερεῖ ἐκ δεξιῶν τῆς ἁγίας τραπέζης, ἀσκεπής, κεκλιμένην ἔχων τὴν κεφαλήν του λέγει·

**Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, εὐλόγησον, Δέσποτα.**

Ὁ ἱερεὺς σφραγίζων τὴν κεφαλὴν τοῦ διακόνου λέγει·

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Καὶ ὁ διάκονος.

**Εὖξαι ὑπὲρ ἐμοῦ, Δέσποτα ἅγιε.**

Ὁ ἱερεύς.

**Κατευθύναι Κύριος τὰ διαβήματά Σου εἰς πᾶν ἔργον ἀγαθόν.**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ὁ διάκονος.

**Μνήσθητί μου, Δέσποτα ἅγιε.**

Ὁ ἱερεύς.

**Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἱεροδιακονίας Σου, ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Καὶ ὁ διάκονος εἰπὼν τὸ

**Ἀμήν**

Προσκυνεῖ καὶ ἀσπάζεται τὸ Εὐαγγέλιον, τὴν ἁγίαν τράπεζαν, τὴν δεξιὰν τοῦ ἱερέως, καὶ ἐξέρχεται ἐκ τῶν ἁγίων θυρῶν. Κλίνας δὲ τὴν κεφαλὴν προσεύχεται μυστικῶς ταῦτα.

**Βασιλεῦ οὐράνιε κτλ.**

**Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.** ***(ἐκ τρίτου).***

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου. *(δίς).***

Ὡσαύτως προσεύχεται καὶ ὁ ἱερεὺς ἔσω. Εἶτα ἀνίσταται, ἀσπάζεται τὸ ἅγιον Εὐαγγέλιον, τὴν ἁγίαν τράπεζαν· ἀνυψοῦντος τὸ Εὐαγγέλιον δυσὶ χερσίν, ἐκφωνεῖ ταὐτοχρόνως ἀπέξωθεν ὁ διάκονος μεγαλοφώνως.

**Εὐλόγησον, Δέσποτα.**

Ὁ δὲ ἱερεὺς μεγαλοφώνως λέγει·

**Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ποιεῖ διὰ τοῦ Εὐαγγελίου σταυρὸν ἐπὶ Ἀντιμινσίου. Ἀποθέτει αὐτὸ εἰς τὴν ἰδίαν του θέσιν, εἰπόντος καὶ τοῦ ψάλτου τὸ

**Ἀμήν.**

Ὁ δὲ διάκονος ἀνίσταται, φορεῖ τὸ καλυμμαύχιόν του, κλείει τὰ Βημόθυρα, καὶ κρατῶν τὸ ὠράριον τοῖς τρισὶ δακτύλοις λέγει μεγαλοφώνως καὶ ἀργῶς·

**Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν κτλ.**

(Ὅρα εἰς τὴν ἀρχὴν τῆς Λειτουργίας τοῦ Χρυσοστόμου).

Ἐνταῦθα ἄρχεται ἡ θεία Λειτουργία, καὶ ὁ διάκονος ἂς ὁδηγηθῇ ἐκ τοῦ διακονικοῦ φυλλαδίου, ὅπερ πρέπει νὰ κρατῇ εἰς χεῖράς του, ἵνα μὴ πίπτῃ εἰς σφάλματα.

## ΤΕΛΟΣ ΤΗΣ ΙΕΡΑΣ ΠΡΟΣΚΟΜΙΔΗΣ

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ